ΧΟΡΟϹ

Ἀγαμέμνονοϲ ὦ κόρα, ἤλυθον, Ἠλέκτρα, [ϲτρ.
ποτὶ ϲὰν ἀγρότειραν αὐλάν.
ἔμολέ τιϲ ἔμολεν γαλακτοπόταϲ ἀνὴρ
Μυκηναῖοϲ οὐριβάταϲ·
ἀγγέλλει δ' ὅτι νῦν τριταί-
αν καρύϲϲουϲιν θυϲίαν
Ἀργεῖοι, πᾶϲαι δὲ παρ' Ἥ-
ραν μέλλουϲιν παρθενικαὶ ϲτείχειν.

Ηλ. οὐκ ἐπ' ἀγλαΐαιϲ, φίλαι,
θυμὸν οὐδ' ἐπὶ χρυϲέοιϲ
ὅρμοιϲ ἐκπεπόταμαι
τάλαιν', οὐδ' ἱϲτᾶϲα χοροὺϲ
Ἀργείαιϲ ἅμα νύμφαιϲ
εἱλικτὸν κρούϲω πόδ' ἐμόν.
δάκρυϲι νυχεύω, δακρύων δέ μοι μέλει
δειλαίαι τὸ κατ' ἦμαρ.
ϲκέψαι μου πιναρὰν κόμαν
καὶ τρύχη τάδ' ἐμῶν πέπλων,
εἰ πρέποντ' Ἀγαμέμνονοϲ
κούραι τᾶι βαϲιλείαι
τᾶι Τροίαι θ', ἃ 'μοῦ πατέροϲ
μέμναταί ποθ' ἁλοῦϲα.

Χο. μεγάλα θεόϲ· ἀλλ' ἴθι καὶ παρ' ἐμοῦ χρῆϲαι [ἀντ.